ἥκω διπλοῦν πένθημ' ὁμαιμόνων ἔχων,
τὸν μὲν θανόντα παῖδα Καδμείων δορὶ
Ἐτέοκλον ἐϲ γῆν πατρίδα ναυϲθλώϲων νεκρὸν
ζητῶν τ' ἐμὴν παῖδ', ἣ δόμων ἐξώπιοϲ
βέβηκε πηδήϲαϲα Καπανέωϲ δάμαρ,
θανεῖν ἐρῶϲα ϲὺν πόϲει. χρόνον μὲν οὖν
τὸν πρόϲθ' ἐφρουρεῖτ' ἐν δόμοιϲ· ἐπεὶ δ' ἐγὼ
φυλακὰϲ ἀνῆκα τοῖϲ παρεϲτῶϲιν κακοῖϲ,
βέβηκεν. ἀλλὰ τῇδέ νιν δοξάζομεν
μάλιϲτ' ἂν εἶναι. φράζετ' εἰ κατείδετε.
Ευ. τί τάϲδ' ἐρωτᾷϲ; ἥδ' ἐγὼ πέτραϲ ἔπι
ὄρνιϲ τιϲ ὡϲεὶ Καπανέωϲ ὑπὲρ πυρᾶϲ
δύϲτηνον αἰώρημα κουφίζω, πάτερ.
Ιφ. τέκνον, τίϲ αὔρα; τίϲ ϲτόλοϲ; τίνοϲ χάριν
δόμων ὑπεκβᾶϲ' ἦλθεϲ ἐϲ τήνδε χθόνα;
Ευ. ὀργὴν λάβοιϲ ἂν τῶν ἐμῶν βουλευμάτων
κλύων· ἀκοῦϲαι δ' οὔ ϲε βούλομαι, πάτερ.
Ιφ. τί δ'; οὐ δίκαιον πατέρα τὸν ϲὸν εἰδέναι;
Ευ. κριτὴϲ ἂν εἴηϲ οὐ ϲοφὸϲ γνώμηϲ ἐμῆϲ.
Ιφ. ϲκευῆι δὲ τῆιδε τοῦ χάριν κοϲμεῖϲ δέμαϲ;
Ευ. θέλει τι κλεινὸν οὗτοϲ ὁ ϲτολμόϲ, πάτερ.
Ιφ. ὡϲ οὐκ ἐπ' ἀνδρὶ πένθιμοϲ πρέπειϲ ὁρᾶν.
Ευ. ἐϲ γάρ τι πρᾶγμα νεοχμὸν ἐϲκευάϲμεθα.
Ιφ. κἄπειτα τύμβωι καὶ πυρᾶι φαίνηι πέλαϲ;
Ευ. ἐνταῦθα γὰρ δὴ καλλίνικοϲ ἔρχομαι.
Ιφ. νικῶϲα νίκην τίνα; μαθεῖν χρῄζω ϲέθεν.